09-05-2026 ΟΡΘΡΟΣ
ΤΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ
† ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΝΕΟΥ
Ἦχος πλ. δ'.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον.

Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος πλ. δ'.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι..

Ἀπολυτίκιον.

Ἦχος δ'. Ὡς τῶν αἰχμαλώτων.

Δόξα...

Ὡς τῶν νοσούντων ὁ ἄμισθος ἰατρός, καὶ τῶν ἐν κινδύνοις ἀπροσμάχητος βοηθός, θλιβομένων τε θερμὸς ὑπερασπιστής, καὶ τῶν ἐν παντοίαις ἀνάγκαις ὑπέρμαχος, Ὁσιομάρτυς ἐξ ἑῴας Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν...

Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος πλ. δ'.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

*Ὅτι σὸν τὸ κράτος...*

Μετὰ τὴν α' Στιχολογίαν,
Κάθισμα τοῦ Ἁγίου.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἐν ὕμνοις καὶ ᾠδαῖς, τὴν ὑπέρφωτον μνήμην, τιμήσωμεν πιστοί, Νικολάου τοῦ νέου, καθεῖλε γὰρ στεῤῥότατα, τῶν βαρβάρων τὸ φρύαγμα, δυναμούμενος τῇ τοῦ Δεσπότου ἰσχύϊ, ὑπὲρ οὗ ἀθλῶν, τὴν κεφαλὴν ἀπετμήθη, δι' ὃ καὶ δεδόξασται.

Δόξα... Καὶ νῦν... τῆς Ἑορτῆς.

Ἦχος γ'. Ἀναστάσιμο

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται ἡ ἀπαρχὴ τῶν κεκοιμημένων, ὁ πρωτότοκος τῆς κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. Οὐκ ἔτι θάνατε κυριεύεις· ὁ γὰρ τῶν ὅλων Δεσπότης, τὸ κράτος σου κατέλυσε.

Μετὰ τὴν β' Στιχολογίαν Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁσίοις καὶ Μάρτυσι συνεπαγάλλῃ σοφέ, ἐκχέας τὸ αἷμά σου, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Νικόλαε ἔνδοξε, χάριν οὖν

ἰαμάτων, ἡ σορὸς σῶν Λειψάνων, βρύει τοῖς προσιοῦσιν, εὐλαβείᾳ καὶ πίστει, καὶ πόθῳ τὴν σὴν μνήμην πανηγυρίζουσιν.

Δόξα... Καὶ νῦν... τῆς Ἑορτῆς.

Ἦχος γ΄. Ἀναστάσιμο

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ Ἐγέρσει σου, καὶ τὸν ἄνθρωπον νῦν κατ΄ αὐτοῦ ἐνίσχυσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος, ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν Κύριε, δόξα σοι.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἀγγέλων τάγματα, μάκαρ ἐθαύμασαν, τὴν καρτερίαν σου, ἐν τῇ ἀθλήσει σου· τὸ σὸν γὰρ Νικόλαε σεπτόν, σῶμα λόγχῃ ἐτρώθη, σπαραγμοὺς ὑπήνεγκας, μαστιζόμενος ἔφερες, χαίρων τε ὑπέμεινας, κεφαλῆς τὴν ἀφαίρεσιν, διὸ τῷ Χριστῷ συμβασιλεύῃς, ὑπὲρ ἡμῶν αὐτῷ πρεσβεύων.

Δόξα... Καὶ νῦν... τῆς Ἑορτῆς.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον

Ἑορτῆς μεσαζούσης τῆς νομικῆς, ἧς διδάσκων Σωτήρ μου ἐν ἱερῷ, ἐλέγχων τε τὴν ἄνοιαν, τῶν ἀπίστων Ἑβραίων, καὶ βοῶν τοῖς ὄχλοις, θείᾳ φωνῇ ὡς φιλάνθρωπος, ὁ διψῶν ἀνέκραζες· ἐρχέσθω πρός με καὶ πινέτω· ὅθεν ἐπηγγείλω, τοῖς πιστεύουσι νέμειν, σοφίας τὰ νάματα, ἐκ πηγῆς ἀκηράτου σου. Διὰ τοῦτο βοῶμέν σοι· Κατάπεμψον Χριστὲ ὁ Θεός, μόνος τὸ πανάγιον Πνεῦμά σου, καὶ σῶσον ἡμᾶς, ὅτι ὑπάρχεις πολυέλεος.

Τὸ α΄Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. (δὶς)

Στίχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον, Ἐκ τοῦ κατὰ

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς.

Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...

Ζήτει ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγ. Δημητρίου.

Δόξα σοι, Κύριε, δόξα σοι.

*Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:*

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν, ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

*Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρί... Ἦχος β'

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Ἦχος πλ. β'

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Εἶτα τὸ Ἰδιόμελον τοῦ Ἁγίου.

Ἦχος πλ. β'

Ὁσιομάρτυς Νικόλαε, ἀθλοφόρε τοῦ Χριστοῦ γενναιότατε, σὺ ἐκ τῆς ἑῴας ὁρμώμενος, ταῖς τῶν σῶν θαυμάτων ἀκτῖσιν, ὡς ἥλιος κατάφωτίζεις τὰ πέρατα καὶ τοὺς ἐν νόσοις κατακειμένους λυτροῦσαι, ταῖς πρὸς Χριστὸν ἀπαύστοις πρεσβείαις σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ')

Ἐλέει καὶ οἰκτιρμοῖς...

ΚΑΝΟΝΕΣ

Ο ΤΗΣ ΕΟΡΤΗΣ

Ὠδὴ α'. Ἦχος δ' Ὁ εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο. (Δίς)

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μεγάλαι τῆς ὑπὲρ νοῦν σου Δέσποτα, θείας σαρκώσεως, εὐεργεσίαι λάμπουσιν ἡμῖν, δωρεαί τε καὶ χάριτες, καὶ θεϊκαὶ λαμπρότητες, ἀγαθοδότως ἀναβρύουσαι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐπέστης, μαρμαρυγὰς Θεότητος, ἐξαποστέλλων Χριστέ, τῆς Ἑορτῆς ἐν μέσῳ προφανῶς· ἑορτὴ γὰρ χαρμόσυνος, τῶν σῳζομένων πέφυκας, καὶ σωτηρίας ἡμῖν πρόξενος.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σοφία, δικαιοσύνη, Κύριε, καὶ ἀπολύτρωσις, παρὰ Θεοῦ σὺ γέγονας ἡμῖν, ἀπὸ γῆς πρὸς οὐράνιον, διαβιβάζων ὕψωμα, καὶ Πνεῦμα θεῖον χαριζόμενος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ἡ σάρξ σου διαφθορὰν ἐν μνήματι, οὐκ εἶδε Δέσποτα· ἀλλ' ὡς συνέστη ἄνευθεν σπορᾶς, τὴν φθορὰν οὐκ ἐδέξατο, ἀκολουθίᾳ φύσεως, ὑπερουσίως μὴ δουλεύσασα.

Ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α'.

Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀμέτοχον ὄντα με, σοφίας πάσης καὶ χάριτος, καὶ νοῦν καὶ διάνοιαν ὅλως ἀδόκιμον, παιδαγώγησον, ὑμνεῖν σε τὸν φωσφόρον, Νικόλαον μάρτυρα τὸν παναοίδιμον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μολύνας τὸ σῶμά μου, καὶ τὴν ψυχὴν ὁ πανάθλιος, προσφεύγω σοι Ἅγιε, καθικετεύων σε, τῇ πρεσβείᾳ σου, σωφρόνησον καὶ σῶσον, πασῶν με λυτρούμενος τῶν περιστάσεων.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γεώδη κατέλιπες, ὡς νουνεχὴς παναοίδιμε, στρατείαν τὴν πρόσκαιρον ἀποσεισάμενος, καὶ αἰώνιον, κατέλαβες στρατείαν, ἀεὶ εὐφραινόμενος σὺν τοῖς συνάθλοις σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πλησθεὶς ἀγαπήσεως, θείας τρισμάκαρ Νικόλαε, βασάνους ὑπέμεινας καρτερικώτατα· καὶ ἀσκητικοῖς ἠγλαϊσμένος πόνοις, Χριστῷ προσενήνεξαι θῦμα πανάριστον.

Δόξα...

Τριάδα ἀμέριστον, ὑμνολογοῦντες δοξάζομεν, καρδίᾳ καὶ στόματι, θερμοῖς τοῖς δάκρυσιν, ἱκετεύοντες, αὐτὴν ἡμῖν πταισμάτων, ἄφεσιν δωρήσασθαι δι' ἀγαθότητα.

Καὶ νῦν... Θεοτοκίον.

Τὴν μόνην ἀμόλυντον, ὁ ῥυπαρὸς καὶ πανάσωτος, ἐγὼ ὑπερύμνητε, ὑμνεῖν οὐ σθένω σε, ἀλλὰ δέομαι, τὰς φρένας φώτισόν μου, καὶ κάθαρον ἄσπιλε, ἵνα δοξάζω σε.

## Ὠδὴ γ΄. ΤΗΣ ΕΟΡΤΗΣ

Ἦχος δ΄. Ὁ εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχύς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ναμάτων ζωοποιῶν, τῇ Ἐκκλησίᾳ τὰς πηγὰς ἤνοιξας· Εἴ τις διψᾷ, πρόθυμος, ἴτω καὶ πινέτω, βοῶν Ἀγαθέ.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐκ γῆς μὲν πρὸς οὐρανόν, ἀνυψωθῆναι προφανῶς ἔλεγες, ἐξ οὐρανοῦ Πνεῦμα δέ, πέμπειν ἐπηγγείλω τὸ ἅγιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ὁ φύσει ζωοποιός, καὶ ἐκ Παρθένου γεννηθεὶς Κύριος, πᾶσι πιστοῖς δεδώρηται, τὴν ἀθανασίαν ὡς εὔσπλαγχνος.

## Ὠδὴ γ΄.

Ἦχος δ΄. Τοῦ Ἁγίου

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δοξάζει τὴν μνήμην σου παμμάκαρ, ὁ κτίστης τῶν ὅλων καὶ Θεός, σὺ γὰρ αὐτὸν ἐδόξασας, γενναίοις ἀγωνίσμασιν, ὅθεν ἀξίως εἴληφας, τὰς ἀμοιβὰς τῶν καμάτων σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ζητῶν σε ὁ ἐξ ἑῴας ἄρχων, ἐν ὄρει Βουνένων ἀκριβῶς, ὡς εἶδέ σε ἐκλάμποντα, ἔνδον δρυῶν πανόλβιε, πολλῆς χαρᾶς ἐμπίπλαται, καὶ τὴν ὑγείαν ἀπέλαβεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀσκήσει στενὴν τρίβον ὁδεύσας, πρὸς πλάτος ὁδεύεις νῦν σοφέ, τοῦ οὐρανοῦ γηθόμενος, Χριστῷ συνὼν τῷ κτίστῃ σου, ὑπὲρ οὗ καὶ τὴν κάραν σου, ὑπὸ βαρβάρων ἀφῄρησαι.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοῦ κόσμου τὰ πέρατα ἐξᾴδει, λαμπρῶς τὰ θαυμάσια τὰ σά, θαυματουργὲ Νικόλαε, καὶ σοῦ τὴν μνήμην ἔνδοξε, φαιδρῶς πανηγυρίζουσι, Χριστὸν ὑμνοῦντα τὸν Κύριον.

Δόξα...

Η ἄκτιστος φύσις καὶ οὐσία, ἡ πανυπερούσιος Τριάς, καὶ βασιλεία μόνιμος, καὶ ὄντως ἀδιάδοχος, ζωῆς τῆς αἰωνίου σου, τοὺς σὲ ὑμνοῦντας ἀξίωσον.

Καὶ νῦν...Θεοτοκίον.

Θεοῖ με Θεὸς ἐν σοὶ σκηνώσας, δι' οἶκτον ἀμέτρητον Ἁγνή, κλαπέντα βρώσει πρότερον, ἀπάτῃ τῇ τοῦ ὄφεως, καὶ ἐκ φθορᾶς εἰς ἄφθαρτον, πάλιν ζωὴν εἰσοικίζει με.

*Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις*

*Ὅτι σὺ εἶ ὁ Θεός ἡμῶν,...*

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ λόγον.

Τοῦ σταυροῦ τῇ δυνάμει καθοπλισθείς, ἀπειλὰς τῶν βαρβάρων μὴ πτοηθείς, προθύμως διήνυσας, τὸν ἀγῶνα μακάριε, εὐτολμίᾳ ἐλέγξας αὐτῶν τὴν δυσέβειαν, καὶ σοφῶς ἐκδιδάξας τοῦ λόγου τὴν σάρκωσιν· ὅθεν τοὺς στεφάνους, παρ' αὐτοῦ ἐκομίσω, ἀξίους τῶν πόνων σου καὶ ἱδρώτων σου Ἅγιε, Ὁσιομάρτυς Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα...

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐξ ἑῴας ἤστραψεν ὡς ἑωσφόρος, ὁ Χριστοῦ ἀήττητος, καὶ μέγας ὄντως ἀθλητής. Ὁσιομάρτυς Νικόλαος, ὃς ἐν Βουνένοις ἀσκήσας ἐνήθλησεν.

Κάθισμα τῆς ἑορτῆς.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Καὶ νῦν.

Τῆς σοφίας τὸ ὕδωρ καὶ τῆς ζωῆς, ἀναβρύζων τῷ κόσμῳ, πάντας Σωτήρ, καλεῖς τοῦ ἀρύσασθαι, σωτηρίας τὰ νάματα· τὸν γὰρ θεῖον νόμον σου, δεχόμενος ἄνθρωπος, ἐν αὐτῷ σβεννύει, τῆς πλάνης τοὺς ἄνθρακας· ὅθεν εἰς αἰῶνας, οὐ διψήσει, οὐ λήξει, τοῦ κόρου σου Δέσποτα, Βασιλεῦ ἐπουράνιε. Διὰ τοῦτο δοξάζομεν, τὸ κράτος σου, Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, καταπέμψαι πλουσίως τοῖς δούλοις σου.

*Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις*

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐξ ἑῴας σήμερον ἀναφανέντα, ὡς ἀστέρα πάμφωτον, καὶ τῆς Ἑλλάδος εἰς δυσμὰς , ὑπὲρ Χριστοῦ ἐναθλήσαντά, σε ἀνυμνοῦμεν τὸν Νέον Νικόλαον.

Ἕτερον.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ζητῶν, τῶν κάτω κατεφρόνησας, καὶ κόσμον λιπὼν Θεῷ ἠκολούθησας. Ἐξ ἑῴας ἄριστε, ἐν Βουνένοις παρῴκησας, ἐν οἷς θῦμα γενόμενος, Χριστῷ προσενήνεξαι Νικόλαε.

Ὁ Οἶκος.

Τοῦ Προδρόμου τὰς τρίβους διὰ ζήλου μάκαρ ἐσχηκώς, καὶ τὴν φωνὴν αὐτοῦ ἔνδον τῆς σῆς περιφέρων καρδίας, τὴν φάσκουσαν, μετανοεῖτε· ἀπάρας τῆς σῆς πατρίδος, ὑπερόπτης γενόμενος νεότητος, κόσμου, πλούτου καὶ ῥεούσης δόξης, οἷά τις ἀετὸς ὑπόπτερος ἵπτασαι ἐν Βουνένοις τῆς Θετταλίας. Κᾀκεῖ τῆς διὰ Χριστὸν ποθουμένοις σοι ἡσυχίας τυχών, οὐ μόνον ὑπερβαλλούσῃ ἀσκήσει τὴν σὴν ψυχὴν κατεκάλυνας, ἀλλὰ καὶ μαρτυρικῷ στέφει, κατὰ τοὺς πάλαι ἐνδόξους Μάρτυρας, κατεκοσμήθης ἀείμνηστε· καὶ εὐῶδες θῦμα γενόμενος, Χριστῷ προσενήνεξαι Νικόλαε.

Συναξάριον

Τῇ Θ΄ τοῦ μηνὸς Μαΐου, μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου καὶ ἐνδόξου Ὁσιομάρτυρος Νικολάου τοῦ Νέου, τοῦ ἐξ Ἀνατολῆς καὶ ἐν Βουνένοις τῆς Θεσσαλίας ἀσκήσαντος καὶ ἀθλήσαντος τοῦ Ἰαματικοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τοῦ Ἁγίου ἐνδόξου Προφήτου Ἡσαΐου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου καὶ δικαίου καὶ πολυάθλου Προφήτου Ἰώβ.

Στίχοι

Εἰ καὶ θανών, ἄληστος ἀνδρείας πέτρα,

Καὶ πῶς Ἰὼβ κρύψει σε τῇ λήθης πέτρᾳ;

Ἕκτῃ Ἰὼβ πολύτλαν θανάτου τέλος ἀμφεκάλυψε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σεραφείμ, ἐν τῷ ὄρει τοῦ Δομποῦ ἀσκήσαντος.

Στίχοι

Λιπὼν Σεραφεὶμ τὸν κάτω καὶ τοῖς ἄνω,

Φλογοφόροις σύνεστι Σεραφεὶμ χῶρον.

Ἤλατ΄ ἅημα ἔνθεν Σεραφεὶμ οὐρανίων ἐς πόλον.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ὅσιοι Μάμας, Παχώμιος καὶ Ἰαρίων ἐν εἰρήνῃ τελειοῦνται.

Ὁ ἅγιος μάρτυς Δημητρίων τοξευόμενος τελειοῦται.

Οἱ ἅγιοι μάρτυρες Δάναξ, Μέσιρος καὶ Θερινὸς ξίφει τελειοῦνται.

Ὁ ἅγιος μάρτυς Δονᾶτος τοξευόμενος τελειοῦται.

Ὁ ἅγιος μάρτυς Βάρβαρος ξίφει τελειοῦται.

Τελεῖται δὲ τῶν εἰρημένων ἁγίων ἡ σύναξις ἐν τῷ Μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

Ταῖς τοῦ σοῦ ἀθλοφόρου Νικολάου Χριστὲ καὶ πάντων τῶν Ἁγίων πρεσβείαις, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ ΤΗΣ ΜΕΣΟΠΕΝΤΗΚΟΣΤΗΣ

Ὠδὴ α΄. Ἦχος πλ. δ΄.

Θάλασσαν ἔπηξας, βυθίσας σὺν ἅρμασι τὸν ἀλαζόνα Φαραώ, καὶ λαὸν διέσωσας δουλείας καὶ εἰσήγαγες αὐτὸν εἰς ὄρος ἁγιάσματος βοῶντα· Ἄσωμέν σοι τῷ Θεῷ ἡμῶν καινὴν ᾠδὴν ἐπινίκιον, τῷ ἐν πολέμοις κραταιῷ.

Ὠδὴ γ΄.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Ὠδὴ δ΄.

Ὁ προφήτης Ἀββακοὺμ τοῖς νοεροῖς ὀφθαλμοῖς προεώρα, Κύριε, τὴν παρουσίαν σου· διὸ καὶ ἀνέκραζεν· Ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός. Δόξα τῇ δόξῃ σου, Χριστέ, δόξα τῇ συγκαταβάσει σου.

Ὠδὴ ε΄.

Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· Κύριε, ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς. Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

Ὠδὴ ϛ΄.

Ὡς ὕδατα θαλάσσης, φιλάνθρωπε, τὰ κύματα τοῦ βίου χειμάζει με. Διό, ὡς Ἰωνᾶς, σοὶ κραυγάζω, Λόγε· Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

Ὠδὴ ζ΄.

Τῶν Χαλδαίων ἡ κάμινος πυρὶ φλογιζομένη, ἐδροσίζετο πνεύματι, Θεοῦ ἐπιστασίᾳ· οἱ παῖδες ὑπέψαλλον· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἄγγελοι καὶ οὐρανοί, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον καὶ ὡς Θεὸν ἀπαύστως δοξαζόμενον, εὐλογεῖτε, ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ

(Ἦχος δ΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Εἶτα ψάλλεται.

Ὁ Εἱρμὸς τῆς θ΄ Ὠδῆς τῆς Ἑορτῆς.

Ἦχος πλ. δ΄.

Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα· ἐπὶ σοὶ Θεοτόκε, ἀμφότερα ᾠκονομήθη· διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς ἀπαύστως μακαρίζομεν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον.

Ἦχος δ΄. Ἐπεφάνη ὁ Σωτήρ.

Διὰ τὸν πόθον τοῦ Χριστοῦ, τὸ αἷμά σου ἐξέχεας, Νικόλαε γενναιόφρον, καὶ τὴν ὀφρὺν τοῦ δυσμενοῦς, ἀνδρείως ἐταπείνωσας, διὰ τοῦτό σε πάντες, φαιδρῶς ἑορτάζομεν.

Ἕτερον.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῶν φιλεόρτων τὸ στῖφος, φαιδρῶς πανηγυριζέτω, τὴν μνήμην τοῦ πανενδόξου, τρισμάκαρος Νικολάου, ὃς αἵματι μαρτυρίου, τὴν Ἐκκλησίαν φαιδρύνει.

Καὶ τῆς Ἑορτῆς.

Ἦχος γ΄ Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ τὸν κρατῆρα ἔχων, τῶν ἀκενώτων δωρεῶν, δός μοι ἀρύσασθαι ὕδωρ, εἰς ἄφεσιν ἁμαρτιῶν· ὅτι συνέχομαι δίψῃ, Εὔσπλαγχνε μόνε Οἰκτίρμον.

ΑΙΝΟΙ. Ἦχος πλ. δ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἶτα Ἱστῶμεν στίχους δ΄

καὶ ψάλλομεν Προσόμοια τοῦ Ἁγίου.

Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ὢ τοῦ παραδόξου θαύματος, νέος, ἀστὴρ φαεινός, τῇ Ἑλλάδι ἐξέλαμψεν, ἐξ ἑῴας ἄδυτος, καταλάμπων τὰ πέρατα. Ὁ θεῖος ὄντως μάρτυς Νικόλαος, καὶ διασῴζει τοὺς κινδυνεύοντας· λύει νοσήματα, καὶ δαιμόνων φάλαγγας ἀποσοβεῖ, καὶ πάθη δυσίατα, Χριστοῦ τῇ χάριτι.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Χαίροις Ἀγγέλων ἐφάμιλλε, καὶ ἀθλητῶν καλλονή, Προφητῶν Ἀποστόλων τε, καὶ Δικαίων σύσκηνε, Ὀρθοδόξων ἀγλάϊσμα· χηρῶν προστάτα, καὶ πενομένων τροφεῦ, τῶν ἀσθενούντων ἀκέστορ ἄριστε· πάντων ὑπέρμαχε, τῶν πιστῶς αἰτούντων σε, καὶ εὐσεβῶς, μνήμην ἐκτελούντων σου, μάρτυς Νικόλαε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ

Ἅπαντες πίστει συνδράμωμεν, τῇ τῶν λειψάνων σορῷ, Νικολάου τοῦ μάρτυρος, φαιδρῶς ἑορτάζοντες, καὶ Χριστὸν ἱκετεύσωμεν, τὸν κτίστην πάντων, Θεὸν καὶ Κύριον, ὅπως πρεσβείαις τοῦ ἀθλοφόρου αὐτοῦ· πάντας λυτρώσηται, ἀπὸ πάσης θλίψεως καὶ τοῦ πυρὸς τοῦ διαιωνίζοντος, ὡς ὑπεράγαθος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὁσιομάρτυς Νικόλαε, περιουσίᾳ θερμῇ, τῆς Χριστοῦ ἀγαπήσεως, σαρκὸς κατεπάτησας, τὸ χαμαίζηλον φρόνημα, καὶ τὴν ψυχήν σου, ἀρετῶν κάλλεσι καταλαμπρύνας θεοειδέστατα, πλάνην διήλεγξας, δυσεβούντων Ἅγιε, ὑφ' ὧν τὸ ζῆν, μάκαρ ἀφαιρούμενος, χορεύεις ἄληκτα.

Δόξα... Ἦχος α'.

Ἀγῶνα διπλοῦν ἠγωνίσω, Ἅγιε Νικόλαε, τὸν δρόμον τετέλεκας τῆς ἀσκήσεως καὶ ἀθλήσεως διὸ ἐν ὑψίστοις σὺν Ἀγγέλοις χορεύεις, ἀντάξια τῶν πόνων σου, εἰληφὼς τὰ ἄνω Βασίλεια, ἀλλὰ πρέσβευε καὶ ὑπὲρ ἡμῶν παμμακάριστε, τῶν πιστῶς ἑορταζόντων, τὴν πανσεβάσμιον μνήμην σου.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Ἦχος δ'. Ἀνατολίου.

Φωτισθέντες ἀδελφοί, τῇ Ἀναστάσει τοῦ Σωτῆρος Χριστοῦ, καὶ φθάσαντες τὸ μέσον τῆς Ἑορτῆς τῆς δεσποτικῆς, γνησίως φυλάξωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ· ἵνα ἄξιοι γενώμεθα, καὶ τὴν Ἀνάληψιν ἑορτάσαι, καὶ τῆς παρουσίας τυχεῖν τοῦ ἁγίου Πνεύματος.

ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ. Ἦχος α'

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ

αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.*

*Ἦχος πλ. δ'.*

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Εὐλογημένη....*

*Ἅπαξ ὑπὸ τοῦ Ἱερέως*

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*καὶ δὶς ὑπὸ τῶν χορῶν.*

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*Ἀντίφωνον α'. Ἦχος β'*

*Στίχ.* Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Ἀντίφωνον β΄

Ἦχος β΄

Στίχ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ΄ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Στίχ. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Στίχ. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Στίχ. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Δόξα Πατρὶ...Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος πλ. α΄

Στίχ. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Στίχ. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Στίχ. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Στίχ. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἰσοδικόν

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος πλ. δ´.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

Ἀπολυτίκιον.

Ἦχος δ´. Ὡς τῶν αἰχμαλώτων.

Δόξα...

Ὡς τῶν νοσούντων ὁ ἄμισθος ἰατρός, καὶ τῶν ἐν κινδύνοις ἀπροσμάχητος βοηθός, θλιβομένων τε θερμὸς ὑπερασπιστής, καὶ τῶν ἐν παντοίαις ἀνάγκαις ὑπέρμαχος, Ὁσιομάρτυς ἐξ ἑῴας Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ναοῦ.

Κοντάκιον τῆς Μεσοπεντηκοστῆς.

Ἦχος δ´.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός· Δεῦτε καὶ ἀρύσασθε ὕδωρ ἀθανασίας· ὅθεν σοι προσπίπτομεν καὶ πιστῶς ἐκβοῶμεν· Τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ´

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΟΣ

ΤΟΥ ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β´ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα (γ´). Ἦχος Β´.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡ-

σεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. β'. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Εὐαγγέλιον ζήτει ἐν τῇ μνήμῃ τοῦ Μεγαλομάρτυρος Δημητρίου.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Κοινωνικό τοῦ Πάσχα.
Ἦχος πλ. α'

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Ψάλλεται δὲ
μετὰ τῶν ἐφεξῆς στίχων αὐτοῦ.

Στίχος: Μέγα τὸ μυστήριον τῆς σῆς Χριστέ, ἀναστάσεως.

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Στίχος: Δείπνῳ παραγέγονας ἑκὼν πάθος ὁ ἀθάνατος.

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Στίχος: Τότε καὶ ὁ ᾅδης συναντήσας, ἐπικράνθη λογοθετούμενος, ψυχὰς ἀπαιτούμενος.

Σῶμα Χριστοῦ μεταλάβετε...

Στίχος: Τότε καὶ Μαρία ἡ μυρίσασα εὐφράνθη, προσκυνήσασα Θεὸν πρὸ τοῦ μνήματος.

Σῶμα Χριστοῦ...

Στίχος: Εἴπατε τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις, ὅτι ἀνέστη ἐκ νεκρῶν ὁ ἀθάνατος.

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Μετὰ ἀντὶ τοῦ Εἴδομεν...
Ἦχος πλ. α'.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ἀμήν ἀμήν ἀμήν. Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεως Κύριε, ὅπως ἂν ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων. Τήρησον ἡμᾶς ἐν τῶ σῶ ἁγιασμῶ ὅλην τήν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλουΐα.

ἦχος β'

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

ΙΕΡΕΥΣ: «Ὁ ἀναστὰς ἐκ νεκρῶν...

ΙΕΡΕΥΣ: Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.